## ΕΤΕΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ. ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὡς ὑποφήτης τῆς ἀῤῥήτου σοφίας, καὶ χρυσοκόλλητος τοῦ Πνεύματος λύρα, καὶ μετανοίας σάλπιγξ μεγαλόφωνος, δώρησαι μετάνοιαν, τῇ ἀθλίᾳ ψυχῇ μου, καὶ παθῶν με λύτρωσαι, καὶ παντοίων κινδύνων, ὡς παῤῥησίαν ἔχων πρὸς Χριστόν, ὦ Ἰωάννη, Χρυσόστομε ὅσιε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν' καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς
«Μετάνοιαν δίδου μοι ὦ Χρυσοῤῥῆμον. ΓΜΜ».

Ὠδὴ α'. Ἦχος πλ. δ'.

Ὑγρὰν διοδεύσας.

Μετάνοιαν κόσμῳ ἀναφωνῶν, χρυσέοις σου λόγοις, ἐκ βυθοῦ με ἁμαρτιῶν, πρὸς γνῶσιν ἀνάγαγε τὴν θείαν, ἵνα σεμνῶς Χρυσολόγε βιώσωμαι.

Ἐλέους τὸν πρύτανιν δυσωπῶν, τὴν κεκακωμένην, ἐργασίαις ταῖς τῶν παθῶν, οἰκτεῖραι ψυχήν μου μὴ ἐλλίπῃς, ὡς συμπαθὴς Ἰωάννη Χρυσόστομε.

Τῶν λόγων σου Πάτερ ἐπιῤῥοαῖς, τὸν κεχερσωμένον, ταῖς τοῦ πλάνου ἐπιφοραῖς, κατάρδευσον νοῦν μου Χρυσολόγε, ὡς ἂν καρπὸν ἐξενέγκῃ σωτήριον.

Θεοτοκίον.

Ἁγνείας δοχεῖον περιφανές, ἁγνόν με συντήρει, καὶ καρδίᾳ τε καὶ νοΐ, καὶ σώματι Κόρη καὶ αἰσθήσει, καὶ τῶν παθῶν μου τὸν βόρβορον κάθαρον.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Νόμον θεῖον κηρύττων, χρυσοειδῆ γλώττῃ σου, τῶν τῆς ἀνομίας χειμάῤῥων, Πάτερ με λύτρωσαι, καὶ τῆς ἀφέσεως, τῷ γλυκερῷ ὕδατί με, πότισον τὰ κρείττονα, διψῶντα πάντοτε.

Ὁλικῶς ἐδουλώθην, τοῖς τῆς σαρκὸς πάθεσι, καὶ ἐγκαλινδοῦμαι ὁσῶραι, τοῖς παραπτώμασι· σὺ οὖν Χρυσόστομε, ἐπιφανεὶς ἀοράτως, πάσης με φαυλότητος, ῥῦσαι καὶ σῶσόν με.

Ἱλασμὸν τῶν πταισμάτων, καὶ φωτισμὸν ἔνθεον, γνῶσιν ἀληθοῦς μετανοίας, ἠθῶν σεμνότητα, καὶ βίον ἄμεμπτον, ὡς εὐκλεὴς Ἱεράρχης, αἴτησαι Χρυσόστομε, τοῖς προσιοῦσί σοι.

Θεοτοκίον.

Ἀπειράνδρως τεκοῦσα, τὸν τοῦ παντὸς αἴτιον, Κεχαριτωμένη Παρθένε, ὑπὲρ κατάληψιν, κόσμου ἀντίληψις, καὶ προστασία ἐδείχθης, τοῖς Θεογεννήτριαν, ὀρθὰ φρονοῦσί σε.

Διάσωσον ἀπὸ παντοίων κινδύνων ὦ Χρυσολόγε, τοὺς ἐκ πόθου τῇ ἀρωγῇ σου προστρέχοντας, καὶ τὰς αἰτήσεις ἡμῶν ἀπαύστως πλήρου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασε τῆς ψυχῆς μου τὸ ἄλγος.

### Αἴτησις καὶ τὸ Κάθισμα.

### Ἦχος β'. Πρεσβεία θερμή.

Προστάτης ἡμῶν, καὶ πρέσβυς πρὸς τὸν Κύριον, ὑπάρχων θερμός, Χρυσόστομε πολύσοφε, σοφιστειῶν τοῦ ὄφεως, καὶ τῆς τούτου μανίας διάσωζε, τοὺς ἀδιστάκτῳ πίστει καὶ στοργῇ, προστρέχοντας Πάτερ τῇ πρεσβείᾳ σου.

### Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Νόμῳ θείῳ κυβέρνησον, τοὺς πεπλανημένους ταῖς παραβάσεσι, καὶ Θεῷ ἡμᾶς οἰκείωσαι, Πάτερ Ἰωάννη μεσιτείαις σου.

Διδαχῶν σου ταῖς χάρισι, χάριν ψυχοτρόφον καὶ θείαν ἔλλαμψιν, τῇ ψυχῇ μου Πάτερ βράβευε, καὶ εἰρήνην δίδου τῇ καρδίᾳ μου.

Ἱεράρχης ὡς ἔνθεος, ἄφεσιν πταισμάτων καὶ ἀπολύτρωσιν, τῶν κακῶν ἡμῶν ἐξαίτησαι, Πάτερ Ἰωάννη συμπαθέστατε.

### Θεοτοκίον.

Δένδρον ἄκαρπον πρόκειμαι, βδελυκτὸς Κυρίῳ πᾶσι δὲ πρόσκομμα, τοῖς ὁρῶσί με Πανάμωμε· ἀλλὰ σὺ βελτίωσον καὶ σῶσόν με.

### Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ὅρμῳ γαληνῷ, μετανοίας με κυβέρνησον, ἐκ πελάγους χαλεπῶν ἁμαρτιῶν, τῇ ταχείᾳ Χρυσοῤῥῆμον ἀντιλήψει σου.

Ὕδωρ τῆς ζωῆς, ὡς ναμάτων τῶν τοῦ Πνεύματος, Χρυσολόγε ποταμὸς ὑπερχειλής, τῇ διψώσῃ μου καρδίᾳ βλῦσον δέομαι.

Μύστης ὢν σοφός, τῆς σοφίας τῆς τοῦ Πνεύματος, σόφισόν μου τὴν μωραίνουσαν ψυχήν, ὡς ἂν Πάτερ τοῦ Θεοῦ ποιῶ τὸ θέλημα.

### Θεοτοκίον.

Ὄμβρησον Ἁγνή, κατανύξεως σταγόνα μοι, ὡς ἂν κλαύσω ἅπερ ἔπραξα δεινά, καὶ ῥυσθῶ ἀναμενούσης με κολάσεως.

### Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἰλύος με, τῶν παθῶν ἀπόπλυνον, τῇ πλημμύρᾳ τῆς σῆς χάριτος Πάτερ, καὶ λεύκανον τὴν στολὴν τῆς ψυχῆς μου, καὶ καθαρὸν τῷ Χριστῷ με παράστησον, οἷα μεσίτης ἀληθής, τοῦ Θεοῦ καὶ ἀνθρώπων Χρυσόστομε.

Ὡράϊσον, εὐμορφίᾳ Ἅγιε, τῶν χρυσέων καὶ σοφῶν σου ῥημάτων, τὴν εἰδεχθῆ καὶ ῥυπῶσαν ψυχήν μου, τῇ τῶν παθῶν ἐμμονῇ καὶ φαυλότητι, καὶ ἴθυνόν με δυσωπῶ, πρὸς ζωὴν Ἰωάννη τὴν κρείττονα.

Χειμάζει με, συμφορῶν ἀντίπνοια, καὶ ποικίλων πειρασμῶν καταιγίδες, ἀλλὰ τὴν σὴν ἐκ βαθέων ψυχῆς μου, ἐπιβοῶμαι βοήθειαν Ἅγιε, ἥν μοι παράσχου συμπαθῶς, καὶ τὸν τάραχον παῦσον τοῦ βίου μου.

### Θεοτοκίον.

Ῥυσθείημεν, τῶν βελῶν τοῦ ὄφεως, τῇ στεῤῥᾷ σου προστασίᾳ Παρθένε, καὶ μετασχοίημεν θείας γαλήνης, καὶ εἰρηναίας ζωῆς δυσωποῦμέν σε· σὺ γὰρ ἡμῶν καταφυγή, καὶ γλυκεῖα ἐν πᾶσιν ἀντίληψις.

Διάσωσον ἀπὸ παντοίων κινδύνων ὦ Χρυσολόγε, τοὺς ἐκ πόθου τῇ ἀρωγῇ σου προστρέχοντας, καὶ τὰς αἰτήσεις ἡμῶν ἀπαύστως πλήρου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου ῥείθροις.

Τοῖς χρυσαυγέσι σου Πάτερ διδάγμασι, τὰς διανοίας εὐφραίνεις τῶν δούλων σου, καὶ διαλύεις παθῶν τὴν σκοτόμαιναν, καὶ πειρασμῶν κατευνάζεις τὴν ἔφοδον· σὺ γὰρ Χρυσολόγε ἡμῶν στήριγμα.

Τὸ α' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' ἤχου.

Τὸ Προκείμενον.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη
τῆς καρδίας μου σύνεσιν.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην,
καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Τὸ Εὐαγγέλιον (Ἰω. ι' 7-16).

(Ζήτει τῇ 13ῃ Νοεμβρίου εἰς τὴν λειτουργίαν).

Δόξα. Ταῖς τοῦ Ἱεράρχου
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ὄργανον εὐάρμοστον, τῆς θεϊκῆς ἐπιπνοίας, γεγονὼς Χρυσόστομε, τῇ τῆς πολιτείας σου καθαρότητι, καθαρὰν τήρησον, τὴν ψυχήν μου Πάτερ, λογισμῶν τοῦ πολεμήτορος, καὶ τὴν καρδίαν μου, ῥῦσαι προσπαθείας τοῦ χείρονος, καὶ πρὸς τὸν θεῖον ἔρωτα, ὅλον μου τὸν νοῦν ἀνάπτέρωσον, ὡς ἂν θεαρέστως, βιώσας ἐπὶ γῆς τῶν ἀγαθῶν, τῶν αἰωνίων ὀφθήσωμαι, μέτοχος μακάριε.

Ὁ Ἱερεύς. Σῶσον, ὁ Θεός, τὸν λαόν σου.

### Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὑποφῆτα τῶν ἄνω, τοῦ Θεοῦ μυστηρίων σοφὲ Χρυσόστομε, συνέτισον τὸν νοῦν μου, τῇ σῇ διδασκαλίᾳ, συνιέναι τὸ θέλημα, τοῦ δι᾽ ἀγάπην πολλήν, σωματωθέντος Λόγου.

Σωτηρίας πρὸς τρίβον, ἐκ παθῶν ἀνοδίας καὶ παραβάσεων, ἀνθέλκυσον ὑψόθεν, καὶ ἴθυνον ἀξίως, Ἰωάννη Χρυσόστομε, τοὺς ἐξαιτοῦντας θερμῶς, τὴν σὴν ἐπιστασίαν.

Οὐρανὸς ὥσπερ ἄλλος, διηγῇ τοῦ Σωτῆρος τὴν δόξαν Ἅγιε· διὸ τὴν γεωθεῖσαν, οὐράνωσον ψυχήν μου, θεολήπτῳ φρονήματι, καὶ πολιτείᾳ σεμνῇ καὶ τρόποις ἐναρέτοις.

### Θεοτοκίον.

Ῥείθροις σῆς εὐσπλαγχνίας, Θεοτόκε παρθένε τὸν νοῦν μου κάθαρον, καὶ φόβῳ τοῦ Κυρίου, ὡς ἄνθρακι ἀΰλῳ, Παναγία κατάφλεξον, τὴν τῶν παθῶν ἐν ἐμοί, συσσωρευθεῖσαν ὕλην.

### Ὠδὴ η΄. Τὸν βασιλέα.

Ῥῦσαί με Πάτερ, τῆς τοῦ ἐχθροῦ τυραννίδος, καὶ ἐνίσχυσον νῦν κατ᾽ αὐτοῦ τὸν νοῦν μου, ἵνα κατισχύσω, τῶν τούτου βουλευμάτων.

Ἡλίου δίκην, ἡ προστασία σου Πάτερ, ἐπιλάμπουσα τὴν κατ᾽ ἐμοῦ μανίαν, καὶ δολοπλοκίαν, τοῦ βροτοκτόνου λύει.

Μὴ διαλίπῃς, ὑπὲρ ἡμῶν Χρυσολόγε, τὸν φιλάνθρωπον Σωτῆρα ἱκετεύειν, ὡς ἂν βασιλείας, τύχωμεν τῆς ἀλήκτου.

### Θεοτοκίον.

Ὁλοφαέσι, λελαμπρυσμένη ἀκτῖσιν, ἡλιόμορφε παρθένε Θεοτόκε, λάμπρυνον τὸν νοῦν μου, τῇ σῇ φωτοβολίᾳ.

### Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Νοός μου τὴν ὁμίχλην, λῦσον Ἰωάννη, τῇ φωταυγεῖ μεσιτείᾳ σου Ἅγιε, καὶ πρὸς τὸ φῶς τὸ τῆς δόξης, Θεοῦ με ἴθυνον.

Γαλήνην καὶ εἰρήνην, σώφρονά τε βίον, καὶ πολυπλόκων σκανδάλων ἐκλύτρωσιν, τοῖς πρὸς τὴν σὴν ἀφορῶσι, πρεσβείαν αἴρησαι.

Μεγίστων χαρισμάτων, ἔμπλεως ὑπάρχων, χαρίτωσόν μου τὸν νοῦν χαριτώνυμε, καὶ μέχρι τέλους ζωῆς μου, προστάτης φάνηθι.

Θεοτοκίον.

Μητράνανδρε παρθένε, κεχαριτωμένη, ἡ τὸν Θεὸν ἀποῤῥήτως κυήσασα, τὴν σκοτισθεῖσαν ψυχήν μου, φώτισον δέομαι.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Χαίροις ὁ τῆς χάριτος θησαυρός· χαίροις ἡ κιθάρα, τῶν τοῦ Πνεύματος δωρεῶν· χαίροις Χρυσολόγε, ὁ χρυσουργίᾳ λόγων, ἡμῶν καθωραΐζων, νοῦν καὶ διάνοιαν.

Ὄργανον πολύφωνον καὶ τερπνόν, ὤφθης Χρυσοῤῥῆμον, ἁρμονίως ἀναφωνοῦν, ἀρετῶν ἁγίων, καὶ εὐσεβῶν δογμάτων, τὰς θείας ἀναβάσεις, κόσμου τοῖς πέρασι.

Γλώσσῃ χρυσοῤῥήμονι καὶ σοφῇ, πᾶσιν ὑπογράφεις, μετανοίας τὰς ἀπαρχάς, καὶ τῆς εὐσπλαγχνίας, Θεοῦ τὸν θεῖον πλοῦτον, τῷ κόσμῳ ἐγγυᾶσαι, ὡς συμπαθέστατος.

Χαίροις ἡ χρυσόφωνος ἀηδών, φωνῆς μελιφθόγγου, διδαγμάτων μελισταγῶν· χαίροις ὑποφῆτα, ἐλλάμψεων ἀΰλων, Χρυσόστομε παμμάκαρ, Πατέρων καύχημα.

Λύτρωσαι Χρυσόστομε δυσωπῶ, παθῶν ἁμαρτίας, τὴν ψυχήν μου τὴν ταπεινήν, καὶ τῆς μετανοίας, φώτισον ταῖς ἀκτῖσι, τυφλώττοντα τὸν νοῦν μου, ταῖς παραβάσεσι.

Πάσης ἐπηρείας τοῦ δυσμενοῦς, δεινῆς ἀθυμίας, καὶ σκανδάλων πολυειδῶν, λύπης καὶ κακίας, ἀνώτερόν με τήρει, Χρυσόστομε τρισμάκαρ, τὸν σὲ γεραίροντα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ τρισάγιον. Δόξα. Καὶ νῦν. Παναγίας Τριάς. Κύριε ἐλέησον (γ'). Δόξα. Καὶ νῦν. Πάτερ ἡμῶν.

Ὁ Ἱερεύς· Ὅτι σοῦ ἐστιν.

Τὰ τροπάρια· Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς.

Ὁ ἱερεύς· Τὴν ἐκτενῆ καὶ τὴν ἀπόλυσιν, μεθ' ἣν τὰ ἑξῆς·

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Μέγας Ἱεράρχης πεφυκώς, μέγιστε Χρυσόστομε πάτερ, ἀρχιερέων κανών, χάριν νέμοις ἄφθονον, τοῖς προσιοῦσί σοι, ὡς μεγίστην πρὸς Κύριον, πλουτῶν παῤῥησίαν, καὶ πάσης στενώσεως, ῥύου ἑκάστοτε, πάντας τοὺς πιστῶς σὲ τιμῶντας, καὶ τὴν σὴν θερμὴν προστασίαν, ἐπιβοωμένους ἐν ταῖς θλίψεσι.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι· μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ὁ Ἱερεύς· Δι' εὐχῶν τῶν ἁγίων.

Δίστιχον.

Χρυσόστομε πρόσδεξαι τόνδε τὸν ὕμνον,
ὅν σοι Γεράσιμος θερμῶς ἀναπέμπει.